καινοὶ καὶ πρόσφατοι ἥκασιν, οἷς οὐκ ᾔδεισαν οἱ Πατέρες αὐτῶν. Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες, καὶ ἐπελάθου Θεοῦ τοῦ τρέφοντός σε. Καὶ εἶδε Κύριος, καὶ ἐζήλωσε, καὶ παρωξύνθη δι' ὀργὴν Υἱῶν αὐτῶν, καὶ θυγατέρων. Καὶ εἶπεν· ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν, καὶ δείξω τί ἔσται αὐτοῖς ἐπ' ἐσχάτων. Ὅτι γενεὰ ἐξεστραμμένη ἐστίν, Υἱοὶ οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς. Αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ Θεῷ, παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν. Κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς. Ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου, καυθήσεται ἕως ᾅδου κατωτάτου. Καταφάγεται γῆν καὶ τὰ γεννήματα αὐτῆς, φλέξει θεμέλια ὀρέων. Συνάξω εἰς αὐτοὺς κακά, καὶ τὰ βέλη μου συντελέσω εἰς αὐτούς. Τηκόμενοι λιμῷ, καὶ βρώσει ὀρνέων, καὶ ὀπισθότονος ἀνίατος. Ὀδόντας θηρίων ἐξαποστελῶ εἰς αὐτούς, μετὰ θυμοῦ συρόντων ἐπὶ τῆς γῆς. Ἔξωθεν ἀτεκνώσει αὐτοὺς μάχαιρα, καὶ ἐκ τῶν ταμείων φόβος. Νεανίσκος σὺν παρθένῳ, θηλάζων μετὰ καθεστηκότος πρεσβύτου. Εἶπον, διασπερῶ αὐτούς, παύσω δὴ ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν. Εἰ μὴ δι' ὀργὴν ἐχθρῶν, ἵνα μὴ μακροχρονήσωσι, καὶ ἵνα μὴ συνεπιθῶνται οἱ ὑπεναντίοι. Μὴ εἴποισαν, ἡ χεὶρ ἡμῶν ὑψηλή, καὶ οὐχὶ Κύριος ἐποίησε ταῦτα πάντα. Ὅτι ἔθνος ἀπολωλεκὸς βουλήν ἐστι, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἐπιστήμη. Οὐκ ἐφρόνησαν συνιέναι. ταῦτα πάντα καταδεξάσθωσαν εἰς τὸν ἐπιόντα χρόνον. Πῶς διώξεται εἷς χιλίους, καὶ δύο μετακινήσουσι μυριάδας; εἰ μὴ ὁ Θεὸς ἀπέδοτο αὐτούς, καὶ ὁ Κύριος παρέδωκεν αὐτούς. Οὐ γὰρ εἰσὶν οἱ θεοὶ αὐτῶν ὡς ὁ Θεὸς ἡμῶν, οἱ δὲ ἐχθροὶ ἡμῶν ἀνόητοι. Ἐκ γὰρ ἀμπέλων Σοδόμων ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόρρας. Ἡ σταφυλὴ αὐτῶν, σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτῶν. Θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς ἀσπίδων ἀνίατος.

Οὐκ